© www.astrothesaurus.gr

## *Περὶ ἐνιαυτοῦ καὶ μηνὸς καὶ ἡμέρας*

«Ὅσα δ' ἂν ἡ γένεσις ἔτη διάγῃ, ταῦτα ἀπὸ τοῦ ὡροσκοποῦντος ζῳδίου διεκβάλλομεν.»

*Διδάξας ἡμᾶς ὁ ἀστρολόγος τὴν μέθοδον, δι' ἧς δυνάμεθα εὑρίσκειν τὸν ὡροσκόπον καὶ τὸ μεσουράνημα, τὰ νῦν ἀνάγει ἡμᾶς καὶ πρός τινα μέθοδον ἀποτελέσματος, δι' ἧς δυνάμεθα προλέγειν πάντα τὰ κατὰ τὸν βίον συμβαίνοντα χρηστά τε καὶ φαῦλα, οὐ μόνον δὲ τὰ συμβαίνοντα χρηστά τε καὶ φαῦλα, ἀλλὰ καὶ πότε συμβήσεται, τουτέστι ποίῳ ἐνιαυτῷ, καὶ οὐ μόνον ποίῳ ἔτει, ἀλλὰ καὶ ποίῳ μηνί, καὶ οὐ μόνον ποίῳ μηνί, ἀλλὰ καὶ ποίᾳ ἡμέρᾳ, καὶ οὐ μόνον ποίᾳ ἡμέρᾳ, ἀλλὰ καὶ ποίᾳ ὥρᾳ.*

*Ἡ δὲ μέθοδος αὕτη· χρὴ λαβεῖν τὸ ἔτος, ὅπερ αὐτὸς λέγει, περὶ οὗ ἐστιν ἡ σκέψις, πόσον ἐστὶν ἀπὸ γενέσεως μέχρι τῆς γενεθλιακῆς ὥρας τοῦ ἔτους, ἐν ᾗ γίνεται ἡ σκέψις, εἶτα ζητεῖν τὸ ζῴδιον τὸ ὡροσκοπῆσαν αὐτοῦ τὴν γένεσιν καὶ τὸν κύριον τοῦ ζῳδίου ἐκείνου, τίς ἐστι, καὶ τὸν μὲν πρῶτον ἐνιαυτὸν διδόναι τῷ ὡροσκόπῳ, τὸν δὲ δεύτερον τῷ μετ' αὐτὸν ζῳδίῳ, τὸν τρίτον τῷ τρίτῳ, τὸν τέταρτον τῷ τετάρτῳ καὶ ἐφεξῆς οὕτως, ἕως οὗ πληρωθῶσι τὰ δώδεκα ζῴδια εἰς δώδεκα ἔτη, καὶ πάλιν τὸ ιγ´ ἔτος διδόναι χρὴ τῷ ὡροσκόπῳ, τὸ ιδ´ τῷ δευτέρῳ καὶ οὕτως ἐφεξῆς, μέχρις οὗ φθάσει τὸ ἔτος ἐκεῖνο, ἐν ᾧ γίνεται ἡ σκέψις. ἐπὰν δὲ φθάσῃ, σκόπησον, ποῖόν ἐστι ζῴδιον τὸ καταλειφθὲν εἰς τὸ ἔτος ἐκεῖνο τὸ ἐνεστηκὸς ἀπὸ τῆς γενεθλιακῆς ὥρας, καὶ ἐπὰν εὕρῃς τὸ ζῴδιον, σκόπει, τίς ἐστιν ὁ κύριος τοῦ ζῳδίου, οἷον Κρόνος ἢ Ζεὺς ἢ Ἀφροδίτη ἢ Ἥλιος ἢ Ἑρμῆς ἢ Ἄρης ἢ Σελήνη. ὃν γὰρ εὕρῃς κύριον τοῦ ζῳδίου, αὐτός ἐστιν ὁ κύριος τοῦ ἐνιαυτοῦ ἐκείνου, οἷον <εἰ> Ταῦρος ἢ Ζυγὸς ἐνέπεσεν εἰς ἐκεῖνο τὸ ζῴδιον, ἀφροδισιακὸν κάλει ἐκεῖνο, εἰ Δίδυμοι ἢ Παρθένος ἑρμαϊκόν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, εἶτα ἐπὰν εὕρῃς τὸν κύριον τοῦ ἔτους, σκόπησον ταῦτα.*

*Πρῶτον μέν, πῶς εἶχεν ἐν τῇ γενέσει τοῦτο τὸ ζῴδιον καὶ ὁ κύριος αὐτοῦ, ἆρα ἐν αὐτῷ ἦν τῷ ζῳδίῳ, τουτέστι ἐν ἰδίῳ οἴκῳ, ἀλλὰ κἂν μὴ ἦν ἐν αὐτῷ, ἐσχημάτιζεν αὐτὸ κατὰ τρίγωνον ἢ τετράγωνον ἢ ἑξάγωνον ἢ διάμετρον, καὶ πότερον ὑπὸ ἀγαθοποιῶν ἀστέρων ἐβάλλετο τηνικαῦτα τὸ ζῴδιον ἢ καὶ ὁ κύριος αὐτοῦ τοῦ ζῳδίου ἢ πᾶν τοὐναντίον, οὔτε ἐν τῷ οἰκείῳ ζῳδίῳ ἦν ὁ ἀστὴρ ἐν τῇ συμπήξει, ἀλλ' ἀπόστροφος ὑπῆρχεν αὐτοῦ οὔτε ἀγαθοποιὸς ἐσχημάτιζε τὸ ζῴδιον ἢ τὸν κύριον αὐτοῦ, τοὐναντίον δὲ κακοποιὸς ἐσχημάτιζε τὸ αὐτό.*

*Δεύτερον δὲ σκοπεῖν ὡσαύτως καὶ ἐν τῇ γενεθλιακῇ ὥρᾳ τοῦ ἐνιαυτοῦ ἐκείνου, ὅπως ἔχει τὸ ζῴδιον ἐκεῖνο καὶ ὁ κύριος αὐτοῦ, –ταὐτὸν δὲ εἰπεῖν– οἱ κύριοι τοῦ ἐνιαυτοῦ ἐκείνου, πότερον ἐν τῷ αὐτῷ ζῳδίῳ ὑπάρχει ἤ, κἂν μὴ ὑπάρχει, βάλλει αὐτὰ κατὰ τρίγωνον ἢ τετράγωνον ἢ ἑξάγωνον ἢ διάμετρον, βάλλουσι δὲ αὐτὸ καὶ ἀγαθοποιοὶ ἀστέρες κατὰ σχῆμα ἤ εἰσι ἐν αὐτῷ, ἢ τὰ ἐναντία πάντα, τουτέστι καὶ ὁ κύριος τοῦ ζῳδίου καὶ τοῦ ἐνιαυτοῦ ἀπόστροφός ἐστι ἀπὸ τοῦ ζῳδίου καὶ τοὐναντίον κακοποιοὶ σχηματίζουσι αὐτὸ ἢ ἐνυπάρχουσιν ἐν αὐτῷ.*

*ἀλλ' εἰ μὲν τὰ πρῶτα εἴη, πάντα ἀγαθά, καὶ ἐκεῖνα γενήσεται ἀγαθὰ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, ὧν ἐστι κύριος ὁ τόπος, ἐν ᾧ εὑρέθη τὸ ζῴδιον ἐκεῖνο τὸ ἐπικρατοῦν τοῦ ἔτους κατὰ τὴν σύμπηξιν τῆς γενέσεως, οἷον ἐὰν εὑρεθῇ κατὰ τὸν καιρὸν τῆς συμπήξεως ἐν ἐκείνῳ τῷ ζῳδίῳ τέταρτος τόπος, τηνικαῦτα ἐν ἐκείνοις τοῖς πράγμασιν εὐτυχήσει ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, ὧν ἐστι κύριος ὁ τόπος ὁ τέταρτος, οἷον ἐπὶ γονεῦσιν καὶ γονικοῖς, ἐπὶ πατρίδι ἢ οἰκίᾳ, ἐπὶ θεμελίοις, ἐπὶ ἐνδυμενίᾳ, ἐπὶ πλοίοις, ἐπὶ κοινωνίᾳ, καὶ ἁπλῶς εἰπεῖν, ὅσα ὁ τέταρτος τόπος ἐπέχει οὐ μόνον δέ, ἀλλὰ καὶ ὧν ἐστιν ὁ κύριος τοῦ ζῳδίου δεσπότης, καὶ ἐκ τούτων εὐτυχήσει, οἷον εἰ ὁ Ἑρμῆς ἐστιν [ὁ κύριος], ἐν*

© www.astrothesaurus.gr

*λόγοις εὐδοκιμήσει τὸν ἐνιαυτὸν ἐκεῖνον, εἰ ἡ Ἀφροδίτη, ἐκ γυναικὸς καὶ ἁπλῶς ὑπὸ θηλυκῶν προσώπων. εἰ δὲ καὶ ὁ γάμος ἐστὶν ἐν αὐτῷ τῷ ἐνιαυτῷ, συμφερόντως γαμήσει. Εἰ δὲ ὁ πέμπτος τόπος ἐστὶν ἐκεῖνο τὸ ζῴδιον κατὰ τὴν γένεσιν, σκοπεῖν δεήσει, ὧν ἐστι κύριος ὁ πέμπτος τόπος. ταῦτα δὲ ἐν τῇ πινακικῇ ἐπισκέψει εὑρήσεις.*

*σκοπεῖν δὲ χρὴ καὶ τοὺς βάλλοντας κατὰ σχῆμα ἀγαθοποιοὺς τῷ ζῳδίῳ τῷ ἐπέχοντι τὸ ἔτος· καὶ γίνονται τὰ ἐκ τούτων ἀγαθὰ τῷ ἐνιαυτῷ ἐκείνῳ. εἰ δὲ πάντα ἐναντία εὑρεθῶσιν, μέγιστα κακὰ γενήσεται ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ καὶ μάλιστα ἐκείνων τῶν πραγμάτων, ὧν ἐπέχει ὁ τόπος, ἐν ᾧ ἦν τὸ ζῴδιον ἐκεῖνο κατὰ τὴν σύμπηξιν, καὶ ὧν ἐπέχουσι οἱ κακοποιοὶ ἀστέρες. [ἔστι] δὲ καὶ ἄπρακτος μάλιστα ὁ ἐνιαυτός, ἐὰν ἀπόστροφος ᾖ ὁ κύριος τοῦ ζῳδίου τοῦ οἰκείου ζῳδίου, ὥσπερ ἐν αὐτῷ, εἰ μὲν ἐσχημάτιζεν αὐτό, πρακτικὸς ἂν ἦν. ἀλλ' ἐπειδὴ οὐκ ἐνδέχεται, ἢ πάνυ κατὰ τὸ σπανιώτατον, εὑρεθῆναι πάντα ὑφ' ἕν, ἵνα καὶ ὁ κύριος τοῦ οἴκου [ᾖ] ἐν αὐτῷ ἢ σχηματίζῃ αὐτὸ καὶ ἵνα ἀγαθοποιοὶ μὲν σχηματίζωσι αὐτὸν καὶ κατὰ τὴν σύμπηξιν τῆς γενέσεως καὶ κατὰ τὴν γενεθλιακὴν ἡμέραν, ἀπόστροφος δὲ εἴη τῆς τῶν κακοποιῶν ἐπιμαρτυρήσεως καὶ τὸ ζῴδιον τὸ ἐπέχον τὸν ἐνιαυτόν, ἢ τοὐναντίον πάντα εὑρεθῆναι ἐναντία, [ἀλλ' ὡς] ἐπὶ τὸ πλεῖστον ἀναμὶξ πάντα ὑπάρχουσιν καὶ τὰ χρηστὰ καὶ τὰ φαῦλα, σκοπεῖν δεήσει, εἴ τινες ἐπικρατοῦσι μᾶλλον καὶ ποῖά εἰσι καὶ πόσα τὰ ἐπέχοντα, τὰ ἀξιολογώτερα, κἀκείνοις τίθεσθαι καὶ αὐτὰ ἀποφαίνεσθαι.*

*Ἀξιολογικώτερον δὲ πάντων ἐστὶ τὸ εἶναι ἐν τῷ οἰκείῳ ζῳδίῳ τὸν κύριον τοῦ ἐνιαυτοῦ ἀστέρα ἢ πάντως σχηματίζειν αὐτόν, ὥσπερ γε κακὸν καὶ ἄπρακτον τὸ ἀπόστροφον αὐτὸν εἶναι.*

***<Περὶ ἐνιαυτοῦ>***

*Ὑποδείγματος χάριν· Ἐχέτω τις τὸν ὡροσκόπον Λέοντα, ἔστω δὲ ἐτῶν κζ´. θέλομεν γνῶναι, ποῖον διάξει τὸ κζ´ ἔτος εἴτε ἀγαθὸν εἴτε φαῦλον· ποιοῦμεν οὕτως· τὸ μὲν πρῶτον αὐτὸ ἔτος παρέχωμεν τῷ ὡροσκόπῳ, ταὐτὸν δὲ εἰπεῖν τῷ Λέοντι, τὸ δεύτερον τῷ ἐπαναφερομένῳ τῷ ὡροσκόπῳ, τουτέστι τῇ Παρθένῳ, τὸ τρίτον τῷ Ζυγῷ καὶ ἐφεξῆς οὕτως ἕως τῶν δώδεκα ἐτῶν τὰ δώδεκα ζῴδια. Πάλιν τὸ ιγ´ ἔτος διδόαμεν τῷ ὡροσκόπῳ, τουτέστι τῷ Λέοντι, τὸ ιδ´ [τῇ Παρθένῳ] καὶ οὕτως ἐφεξῆς μέχρι τοῦ κδ´ ἔτους. τὸ δὲ κε´ ἔτος παρέχομεν πάλιν τῷ ὡροσκόπῳ Λέοντι, τὸ κς´ τῇ Παρθένῳ, τὸ κζ´ τῷ Ζυγῷ, καὶ λέγομεν, ὅτι ἀφροδισιακόν ἐστι τὸ τέλος, ἐπειδὴ δεσπότης ἐστὶν ἡ Ἀφροδίτη τοῦ Ζυγοῦ. εἶτα σκοποῦμεν ἐκεῖνα τὰ προειρημένα, πρότερον μὲν πῶς εἶχεν ἐν τῇ γενέσει ἡ Ἀφροδίτη καὶ τὸ ζῴδιον τοῦτο, ἆρα ἐσχημάτιζεν αὐτὸ ἢ ἐν αὐτῷ ἦν, ἢ τοὐναντίον ἀπόστροφος ἦν αὐτῷ, ἔπειτα, ἆρα ἀγαθοποιοὶ ἔβαλλον ἐν τῷ Ζυγῷ ἢ κακοποιοί, καὶ ἆρα ὑπὸ ἀγαθοποιῶν ἐβάλλετο ἡ Ἀφροδίτη τηνικαῦτα ἢ ὑπὸ κακοποιῶν.*

*ὡσαύτως δὲ πάλιν τὰ αὐτὰ πάντα ζητοῦμεν καὶ ἐν τῇ γενεθλιακῇ ὥρᾳ. καὶ εἰ μὲν εὕρω, ὅτι σχηματίζει τὸν Ζυγὸν ἡ Ἀφροδίτη ἢ ἐν αὐτῷ ἐστιν, λέγω ὅτι πρακτικὸν τὸ ἔτος καὶ ἀγαθόν, μάλιστα δέ, εἰ καὶ ὑπὸ ἀγαθοποιῶν ἀστέρων βάλλεται ἡ Ἀφροδίτη τηνικαῦτα, ἢ ἐν καλῷ τόπῳ ἐστί, τουτέστι ἔγκεντρος ἢ ἐν Ἀγαθῷ Δαίμονι ἢ ἀποκλίματι ἢ ἐν Ἀγαθῇ Τύχῃ. τηνικαῦτα γὰρ καὶ τὰ ἀπ᾽ αὐτῆς παρέχει, ἐπαφρόδιτον γὰρ καὶ ἐπίχαρι ποιήσει τὸ ἔτος καὶ τὰς ἀπὸ γυναικῶν ὠφελείας παρέξει πολλάς. εἰ δὲ καὶ γαμήσει ἐν αὐτῷ τῷ ἔτει, καλὸν παρὰ τὰς σκέψεις· οὐ μόνον δὲ τοῦτο ἀλλὰ καὶ ἀπὸ [τῶν]τοῦ τόπου ἀγαθῶν ἕξει, ὧν ἐστι κύριος ὁ τόπος, ἐν ᾧ εὑρέθη ὁ Ζυγὸς κατὰ τὴν σύμπηξιν.*

*Εὑρέθη δὲ ἐν τῷ τρίτῳ τόπῳ, τῷ περὶ θεᾶς, ἐπειδὴ ὡροσκόπος ἦν ὁ Λέων· σκοπεῖν οὖν δεήσει τὰ τοῦ τόπου πράγματα ἐν τῇ πινακικῇ ἐπισκέψει. εἰ δὲ πάντα ἐναντία εὑρεθῇ, χαλεπὸν ἔσται τὸ ἔτος. εἰ δὲ μήτε πάντα ἀγαθὰ μήτε πάντα ἐναντία, μέσον ἔσται τὸ ἔτος· οἷον εἰ μὲν ἡ Ἀφροδίτη εὑρεθῇ ἀπόστροφος τοῦ ζῳδίου, ἐπειδὴ ἐν Ταύρῳ ἦν, Ἄρης δὲ ἐν αὐτῷ [ἤγουν τῷ Ζυγῷ] ὅσον κατὰ τοῦτο χαλεπώτατον τὸ ἔτος ἐκεῖνο καὶ ἄπρακτον. ἀλλ' εὑρέθη Ζεὺς ἐν Κριῷ διαμετρῶν τὸν Ζυγόν, ὁ δὲ Ἥλιος καὶ ὁ Ἑρμῆς ἐν τοῖς Διδύμοις ὄντες ἔβαλλον αὐτὸν κατὰ τρίγωνον, καὶ διὰ τοῦτο οὐκ ἐῶσι τὸν Ἄρη κακοποιῆσαι πάνυ πλὴν ἕως τοῦ δοκεῖν· ὑπὸ γυναικῶν μὲν κακίζεται ὁ ἐνιαυτός, ἐπειδὴ ὑπ' οὐδενὸς τῶν ἀγαθοποιῶν σχηματίζεται ἡ Ἀφροδίτη, τοὐναντίον δὲ βάλλεται ὑπὸ τοῦ Κρόνου κατὰ τετράγωνον ὄντος ἐν τῷ Λέοντι. καὶ οὕτως μὲν καταλαμβάνομεν ἕκαστον ἐνιαυτόν, ὁποῖός ἐστιν ἢ ἀγαθοποιὸς ἢ κακοποιὸς ἐκ τῆς εἰρημένης μεθόδου.*

***<Περὶ μηνός>***

*Ἐπειδὴ δὲ οὐκ ἀρκεῖ ἡμῖν τοῦτο τὸ εἰδέναι, ὁποῖός ἐστιν ὁ ἐνιαυτός, ἀλλὰ καὶ καθ' ἕκαστον μῆνα θέλομεν εἰδέναι, πῶς ἐνδιάξομεν ἐν αὐτῷ καὶ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν, τὸν μῆνα, ὁποῖός ἐστιν, ζητήσομεν οὕτως, ὡς ἐπὶ τοῦ προτεθέντος ὑποδείγματος, ἔνθα ἔπεσεν ὁ τελευταῖος ἐνιαυτός, λέγω δὴ ὁ κζ´· ἔπεσεν δὲ ἐν Ζυγῷ· ἐκεῖσε ἄρχεσθαι δεῖ τῶν μηνῶν· καὶ ὥσπερ τὸ α´ ἔτος παρείχομεν τῷ ὡροσκόπῳ καὶ τὸ β´ τῷ ἐπαναφερομένῳ καὶ ἐφεξῆς οὕτως, καὶ τὸν πρῶτον μῆνα τοῦ ζητουμένου ἔτους δώσομεν τῷ ζῳδίῳ, ἐν ᾧ ἔπεσεν ὁ ἐνιαυτὸς ἐκεῖνος. ὥσπερ ἐπὶ τοῦ προκειμένου γυμνάσομεν.*

*Ὁ κζ´ ἐνιαυτὸς ἔπεσεν ἐν Ζυγῷ· θέλω γνῶναι, ὁποῖον διάξω τὸν ζ´ μῆνα τοῦ κζ´ ἔτους ἢ πρακτικὸν καὶ χρηστὸν ἢ τοὐναντίον, φαῦλον καὶ ἄπρακτον. ποιῶ οὕτως· τὸν α´ μῆνα τοῦ κζ´ ἔτους δίδωμι τῷ Ζυγῷ, τὸν β´ τῷ Σκορπίῳ,*

© www.astrothesaurus.gr

*τὸν γ´ τῷ Τοξότῃ, τὸν δ´ τῷ Αἰγοκέρωτι, τὸν ε´ τῷ Ὑδροχόῳ, τὸν ϛ´ τοῖς Ἰχθύσιν, τὸν ζ´ τῷ Κριῷ, λέγω ὅτι ἀρεϊκός μοί ἐστιν ὁ μὴν ὁ ζ´. εἶτα σκοπῶ, εἰ ἐν αὐτῷ ἐστιν ὁ Ἄρης ἢ σχηματίζει αὐτόν· εἰ μὲν ἐν αὐτῷ ἐστιν ἢ σχηματίζει, λέγω ὅτι πρακτικός· εἶτα θεωρῶ, τίνες βάλλουσι κατὰ σχῆμα τὸν Ἄρη καὶ τὸν Κριόν. καὶ εἰ μὲν βάλλει ὁ Ζεὺς ἢ ὁ Ἥλιος ἢ ὁ Ἑρμῆς ἢ ἡ Ἀφροδίτη τὸν Κριὸν ἢ τὸν Ἄρη, λέγω ὅτι καλὸς ἔσται καὶ ἀγαθὸς καὶ ἐπ᾽ ἀγαθοῖς πρακτικός. εἰ μέντοι μηδεὶς τῶν ἀγαθοποιῶν βάλλει ἢ τὸν Ἄρη ἢ τὸν Κριόν, μόνος δὲ ὁ Ἄρης ἐκεῖ ἐστι ἢ ἀκτινοβολεῖ τὸν Κριόν, λέγω ὅτι ἐπὶ κακοῖς ἐστι πρακτικὸς ὁ ζ´ μήν· εἰ δὲ μήτε ὁ Ἄρης βάλλει, παντάπασιν ἄπρακτος καὶ φαῦλος ὁ μὴν ἔσται· οὕτως εὑρίσκομεν τὸν μῆνα.*

**<Περὶ ἡμέρας>**

*Τὴν δὲ ἡμέραν, ὅπως διαγάγοιμεν, εὑρήσομεν οὕτως· ἀπὸ τοῦ ζῳδίου, ἐν ᾧ ἔπεσεν ὁ μὴν ἐκεῖνος, οὗ ζητῶ τὴν ἡμέραν, ἄρχομαι ἐκβάλλειν τὰς ἡμέρας διδοὺς ἑκάστην ἡμέραν ἑκάστῳ ζῳδίῳ ἐφεξῆς, μέχρι ἧς ζητῶ ἡμέρας· οἷον ἐπὶ τοῦ προκειμένου ὑποδείγματος βούλομαι τοῦ κζ´ ἔτους τοῦ ζ´ μηνὸς τὴν κ´ ἡμέραν γνῶναι, ὁποίαν ἀγάγοιμι· ποιῶ οὕτως· τὴν μὲν α´ ἡμέραν τοῦ ζ´ μηνὸς παρέχω τῷ Κριῷ, εἰς αὐτὸν γὰρ ἔπεσεν ὁ ζ´ μήν· τὴν β´ τῷ Ταύρῳ, τὴν γ´ τοῖς Διδύμοις καὶ ἐφεξῆς μέχρι τοῦ ιβ´. πάλιν τὴν ιγ´ τῷ Κριῷ, τὴν ιδ´ τῷ Ταύρῳ, τὴν ιε´ τοῖς Διδύμοις, τὴν ιϛ´ τῷ Καρκίνῳ, τὴν ιζ´ τῷ Λέοντι, τὴν ιη´ τῇ Παρθένῳ, τὴν ιθ´ τῷ Ζυγῷ, τὴν κ´ τῷ Σκορπίῳ· λέγω ὅτι [ἀρεϊκή] ἐστι καὶ ἡ κ´ ἡμέρα τοῦ ζ´ μηνός, ἐπειδὴ κύριός ἐστι ὁ Ἄρης τοῦ Σκορπίου.*

*Πάλιν ὡσαύτως βλέπω, [εἰ] ἐκεῖ ἐστιν ὁ Ἄρης ἢ σχηματίζει τὸν Σκορπίον ἢ ἀπέστραπται ἢ οἱ ἀγαθαποιοὶ ἀκτινοβολοῦσι τὸ ζῴδιον ἢ ἀπόστροφοι αὐτοῦ εἰσι, καὶ οὕτως ἀποφαίνομαι περὶ τῆς ἡμέρας ἐκείνης,*

*ὁποία γενήσεται εἴτε ἀγαθὴ εἴτε κακή, ὥσπερ καὶ ἐπὶ τοῦ μηνός· ὡσαύτως δὲ καὶ ἐπὶ πάσης ἡμέρας ποιητέον.*

***<Περὶ ὥρας>***

*Ὅπως δὲ γνοίημεν ἑκάστην ὥραν, εἴτε μετ᾽ εὐθυμίας εἴτε μετ᾽ ἀθυμίας γενήσεται, ποιήσομεν οὕτως· τὴν α΄ ὥραν τῆς ἡμέρας ἐκείνης, [ἧς] ζητοῦμεν τὴν ὥραν, παράσχωμεν τῷ ζῳδίῳ, ἐν ᾧ ἔπεσεν ἡ ἡμέρα ἐκείνη· τὴν δὲ β΄ τῷ μετ᾽ αὐτό, τὴν γ΄ ἐφεξῆς τῷ μετ᾽ αὐτό, μέχρι τῆς ὥρας, ἧς ζητοῦμεν· οἷον ὡς ἐπὶ τοῦ προτεθέντος ὑποδείγματος· ζητῶ τῆς κ΄ ἡμέρας τοῦ ζ΄ μηνὸς τὴν θ΄ ὥραν, ποίαν μέλλω διάξειν. καὶ ποιῶ οὕτως· τὴν μὲν α΄ ὥραν παρέχω τῷ Σκορπίῳ. ἐν τούτῳ γὰρ ἐνέπεσεν ἡ κ΄ ἡμέρα τοῦ ζ΄ μηνός, τὴν β΄ τῷ Τοξότῃ, τὴν γ΄ τῷ Αἰγοκέρωτι, τὴν δ΄ τῷ Ὑδροχόῳ, τὴν ε΄ τοῖς Ἰχθύσιν, τὴν ϛ΄ τῷ Κριῷ, τὴν ζ΄ τῷ Ταύρῳ, τὴν η΄ τοῖς Διδύμοις, τὴν θ΄ τῷ Καρκίνῳ. λέγω ὅτι σεληνιακή ἐστιν ἡ ὥρα ἡ θ΄ τῆς κ΄ ἡμέρας.*

*Λοιπὸν σκοπῶ, πῶς ἔχει ἡ Σελήνη καὶ πῶς ὁ Καρκίνος, πότερον ἐν αὐτῷ ἐστι ἡ Σελήνη τῷ Καρκίνῳ ἢ σχηματίζει αὐτὸν ἢ τοὐναντίον ἀπόστροφός ἐστι αὐτοῦ, καὶ πότερον ὑπὸ ἀγαθοποιῶν ἀκτινοβολεῖται ἡ Σελήνη καὶ ὁ Καρκίνος ἢ ὑπὸ κακοποιῶν· καὶ οὕτως ἀποφαίνομαι καὶ περὶ τῆς ὥρας ὥσπερ ἐπὶ τοῦ μηνὸς καὶ τῆς ἡμέρας. ταῦτα παραδίδωσι ἡ μετὰ χεῖρα λέξις.*